# ΚΥΡΙΑΚΗ Β′ ΜΑΤΘΑΙΟΥ

## Τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἡ Ἀνάστασις

* * *

## Πάντες οἱ ἐν τῷ Ἁγίῳ Ὄρει τοῦ Ἄθω λάμψαντες Πατέρες

**Τῇ δευτέρᾳ Κυριακῇ τοῦ Ματθαίου, τὴν Μνήμην ἑορτάζομεν πάντων τῶν Ὁσίων Πατέρων, τῶν ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθω λαμψάντων**



*Ἡ Σύναξις τῶν Ἁγίων τοῦ Ἄθω. Φορητὴ Εἰκὼν (ΙΗ′ αἰ.), Ἱ. Ν. Πρωτάτου, Ἄθωνος.*

**Ἀπολυτίκιον.**

Ἦχος α′. Τοῦ λίθου σφραγισθέντος.

Τοὺς τοῦ Ἄθω Πατέρας, καὶ Ἀγγέλους ἐν σώματι, Ὁμολογητὰς καὶ Ὁσίους, Ἱεράρχας καὶ Μάρτυρας, τιμήσωμεν ἐν ὕμνοις καὶ ᾠδαῖς, μιμούμενοι αὐτῶν τὰς ἀρετάς, ἡ τοῦ Ὄρους πληθὺς πᾶσα τῶν Μοναστῶν, κραυγάζοντες ὁμοφώνως. Δόξα τῷ στεφανώσαντι Ὑμᾶς· δόξα τῷ ἁγιάσαντι· δόξα τῷ ἐν κινδύνοις ἡμῶν, προστάτας δείξαντι.

**Κοντάκιον.** Ἦχος δ′. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τοὺς οὐρανώσαντας τὸ Ὄρος Πατέρας, καὶ ὑποδείξαντας ἐν τούτῳ τὸν βίον, Ἀγγέλων πολιτεύεσθαι, καὶ πλήθη Μοναχῶν, ἐν αὐτῷ συνάξαντας, ἀνευφημήσωμεν πάντες, πρὸς αὐτοὺς κραυγάζοντες· ἀπὸ πάσης ἀνάγκης, καὶ ἐπηρείας ῥύσασθε ἡμᾶς, πληθὺς Ὁσίων, τοῦ Ἄθω τὸ καύχημα.

**Μεγαλυνάριον.**

Τοὺς τοῦ Ὄρους Ἄθω Καθηγητάς, Μοναστὰς Μιγάδας, Ἱεράρχας καὶ Ἀθλητάς, Ὁμολογητάς τε, Ποιμένας καὶ Ὁσίους, τῶν Μοναστῶν τὰ πλήθη, ὕμνοις τιμήσωμεν.

**Στίχοι.**

Ὄρη παρῆλθε πάντα, τοῦ Ἄθω Ὄρος,<br>
Εὐρωπαϊκῆς γῆς, τῇ ἁγιωνυμίᾳ·<br>
Ἤνθησεν ἄνθη, ἀνθεοτρεφὴς Ἄθως,<br>
Ὄντως νοητά, τούσδε θείους Πατέρας·<br>
Χορὸν Θεοειδῆ, τῶν ἐν Ἄθῳ Πατέρων,<br>
Χορὸς γεραίρει, τῶν Μοναστῶν τοῦ Ἄθω.<br>
Πληθὺς Ἀθωνιάς, ἀμφὶ θέωκον στῆκε Θεοῖο.